ἀκροάσεως καὶ λαβόντες τι τῶν μὴ καλῶς ἢ μὴ ἱκανῶς εἰρῆσθαι
δοκούντων ἐπιχειρῶμεν εἰς ταὐτὸ καὶ προάγωμεν αὐτούς, τὰ
E μὲν ὥσπερ ἀναπληροῦν, τὰ δ' ἐπανορθοῦσθαι, τὰ δ' ἑτέρως
φράζειν, τὰ δ' ὅλως ἐξ ὑπαρχῆς εἰσφέρειν πειρώμενοι πρὸς
τὴν ὑπόθεσιν. ὃ καὶ Πλάτων ἐποίησε πρὸς τὸν Λυσίου λόγον
(Phaidr. 244 sqq.). τὸ μὲν γὰρ ἀντειπεῖν οὐ χαλεπὸν ἀλλὰ καὶ
πάνυ ῥᾴδιον εἰρημένῳ λόγῳ· τὸ δ' ἕτερον ἀντιαναστῆσαι βελτίονα
παντάπασιν ἐργῶδες. ὥσπερ ὁ Λακεδαιμόνιος ἀκούσας ὅτι Φί-
λιππος Ὄλυνθον κατέσκαψεν 'ἀλλ' οὐκ ἀναστῆσαί γε τοιαύτην'
ἔφη 'πόλιν ἐκεῖνος ἂν δυνηθείη'. ὅταν οὖν ἐν τῷ διαλέγεσθαι
πρὸς τὴν αὐτὴν ὑπόθεσιν μὴ πολὺ φαινώμεθα τῶν εἰρηκότων
F διαφέροντες, πολὺ τοῦ καταφρονεῖν ἀφαιροῦμεν, καὶ τάχιστα
κολούεται τὸ αὔθαδες ἡμῶν καὶ φίλαυτον ἐν ταῖς τοιαύταις
ἐλεγχόμενον ἀντιπαραβολαῖς.

**7.** Τῷ τοίνυν καταφρονεῖν τὸ θαυμάζειν ἀντικείμενον εὐγνω-
μονεστέρας μέν ἐστι δήπου καὶ ἡμερωτέρας φύσεως, δεῖταί γε
μὴν οὐδ' αὐτὸ μικρᾶς εὐλαβείας, τάχα δὲ καὶ μείζονος· οἱ μὲν
γὰρ καταφρονητικοὶ καὶ θρασεῖς ἧττον ὠφελοῦνται ὑπὸ τῶν
41 λεγόντων, | οἱ δὲ θαυμαστικοὶ καὶ ἄκακοι μᾶλλον βλάπτονται,
καὶ τὸν Ἡράκλειτον οὐκ ἐλέγχουσιν εἰπόντα (fr. 87) 'βλὰξ
ἄνθρωπος ἐπὶ παντὶ λόγῳ ἐπτοῆσθαι φιλεῖ'. δεῖ δὲ τὸν μὲν
ἔπαινον ἀφελῶς τοῖς λέγουσι τὴν δὲ πίστιν εὐλαβῶς προΐεσθαι
τοῖς λόγοις, καὶ τῆς μὲν λέξεως καὶ προφορᾶς τῶν ἀγωνιζο-
μένων εὐμενῆ καὶ ἁπλοῦν εἶναι θεατήν, τῆς δὲ χρείας καὶ
τῆς ἀληθείας τῶν λεγομένων ἀκριβῆ καὶ πικρὸν ἐξεταστήν,
ἵν' οἱ μὲν λέγοντες μὴ μισῶσιν, οἱ δὲ λόγοι μὴ βλάπτωσιν·
ὡς πολλὰ ψευδῆ καὶ πονηρὰ δόγματα λανθάνομεν εὐνοίᾳ καὶ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id412916606/88 UNIVERSITÄT LEIPZIG